# ΑΛΒΙΝΟΥ ΕΙΣΑΓΩΓΗ
## ΕΙΣ ΤΟΥΣ ΠΛΑΤΩΝΟΣ
### ΔΙΑΛΟΓΟΥΣ

I

Ὅτι τῷ μέλλοντι ἐντεύξεσθαι τοῖς Πλάτωνος διαλόγοις προσήκει πρότερον ἐπίσασθαι αὐτὸ τοῦτο, τί ποτέ ἐστιν ὁ διάλογος. Οὔτε γὰρ ἄνευ τέχνης τινὸς καὶ δυνάμεως γεγραμμένοι εἰσὶν, οὔτε τεχνικῶς γνωρίσαι ῥάδιον τῷγε θεωρίας ἀπείρως ἔχοντι. Ἀρέσκει δὲ τῷ φιλοσόφῳ περὶ παντὸς οὗτινος οὖν τὴν σκέψιν ποιούμενον, τὴν οὐσίαν τοῦ πράγματος ἐξετάζειν. Ἔπειτα, τί τοῦτο δύναται, καὶ τί μὴ, πρὸς ὅ, τί τε χρήσιμον πέφυκε καὶ πρὸς ὃ μή. Λέγει δὲ ὧδε *. Περὶ παντὸς ὦ παῖ μία ἀρχὴ τοῖς μέλλουσι καλῶς βουλεύεσθαι„ εἰδέναι περὶ οὗ ἂν βουλὴ ᾖ, παρὰ τοῦτο ἁμαρτάνειν ἀνάγκη. Τοὺς δὲ πολλοὺς λέληθεν, ὅτι οὐκ ἴσασι τὴν οὐσίαν ἑκάστου, ὡς οὖν οὐκ εἰδότες **, οὐδὲ ὁμολογοῦντες ἐν ἀρχῇ τῆς σκέψεως, προελ-

* *Plato in Phaedro non longe a principio.*

** *In editis Platonis libris est* ὡς οὖν εἰδότες οὐχ ὁμολογοῦνται κ. τ. λ. *quod Ficinus vertit:* tanquam igitur ſcientes in diſquiſitionis principio non declarant.